286

Fluviis

Πλούταρχος περί Ποταμών. σ. 286.

# Ε Β Ρ Ο Σ.

Ἕβρος ποταμός ἐστι τῆς Θράκης, προσηγορίαν εἰληφώς ἀπό τῆς συστροφῆς τῆς καταφορᾶς τοῦ ὕδατος. Κάσανδρος δέ ὁ βασιλεύς τῶν τόπων, γήμας Κροτονίκην, ἐγέννησεν ἐξ'αὐτῆς υἱόν Ἕβρον· ἀποταξάμενος δέ τῇ συμβιώσει τῆς προτέρας γυναικός ἐπέγημε τῷ τέκνῳ Δαμασίππην τήν Ἄτρακος· ἥτις εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ προγόνου λόγους αὐτῷ περί συνόδων ἀπέστειλεν. ὁ δ'ὡς Ἐρινύν φυγών τήν μητρυιάν προσηνκαίρει κυνηγίαις. ἀποτυχοῦσα δέ τῆς προαιρέσεως ἡ ἀσελγής κατεψεύσατο τοῦ σώφρονος, ὡς βιάσασθαι αὐτήν θελήσαντος. Κάσανδρος δέ τῷ ζήλῳ συμπεριενεχθείς μεθ'ὁρμῆς ἐπί τήν ὕλην ἠνέχθη καί σπασάμενος τό ξίφος ἐδίωκε τόν υἱόν, ὡς ἐπίβουλον τῶν πατρώων γάμων. ὁ δέ υἱός περικατάληπτος γενόμενος ἑαυτόν ἔρριψεν εἰς ποταμόν Ῥόμβον, ὅς ἀπ'αὐτοῦ Ἕβρος μετωνομάσθη· καθώς ἱστορεῖ Τιμόθεος ἐν ια περί Ποταμῶν.

Ὄρος δ'αὐτῷ παράκειται Παγγαῖον, τήν προσηγορίαν ἔχον δι'αἰτίαν τοιαύτην. ὁ Παγγαῖος, Ἄρεως καί Κριτοβούλης παῖς, τῇ θυγατρί κατ'ἄγνοιαν συγγενόμενος καί ἀθυμίᾳ συσχεθείς ἔδραμεν εἰς Καρμάνιον ὄρος, καί διά λύπης ὑπερβολήν σπασάμενος τό ξίφος ἑαυτόν ἀνεῖλε· κατά δέ πρόνοιαν θεῶν τόπος μετωνομάσθη Παγγαῖος.

Γεννᾶται δέ ἐν αὐτῷ τῷ προειρημένῳ ποταμῷ βοτάνη παρόμοιος ὀριγάνῳ, ἧς τά ἄκρα δρεψάμενοι Θρᾶκες ἐπιτιθέασι πυρί μετά τόν κόρον τῆς δημητριακῆς τροφῆς, καί τήν ἀναφερομένην ἀναθυμίασιν δεχόμενοι ταῖς ἀναπνοιαῖς, κρατοῦνται καί εἰς βαθύν ὕπνον καταφέρονται.

Γεννᾶται δέ καί ἐν τῷ Παγγαίῳ ὄρει βοτάνη, καθάρά καλουμένη διά ταύτην τήν αἰτίαν. αἱ διαπράξασαι τόν Ὀρφέα τά μέλη τοῦ προειρημένου εἰς ποταμόν ἔβαλον Ἕβρον· καί ἡμέν

κεφαλή τοῦ θνητοῦ κατά πρόνοιαν θεῶν εἰς δράκοντα μετέβαλε τήν μορφήν τοῦ σώματος, ἡ δέ λύρα κατηστερίσθη κατά προαίρεσιν Ἀπόλλωνος, ἐκ δέ τοῦ ῥεύσαντος αἵματος ἀνεφάνη βοτάνη κιθάρα καλουμένη τῶν δέ Διονυσιων τελουμένων, αὐτη κιθάρας ἀναδίδωσιν ἦχον· οἱ δ᾽ ἐγχώριοι νεβρίδας περιβεβλημένοι καί θύρσους κρατοῦντες ὕμνον ᾄδουσιν·

" μή τότε φρονήσης, ὅταν ἔση μάτην φρονῶν "

καθώς ἱστορεῖ Κλειτώνυμος ἐν τῷ γ΄τῶν Θρακικῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ε Β Ρ Ο Σ.

Πλουτάρχου περί Ποταμών. σελ. 286

Ἕβρος ποταμός ἐστι τῆς Θράκης, προσηγορίαν εἰληφώς ἀπό τῆς συστροφῆς τῆς καταφορᾶς τοῦ ὕδατος. Κάσανδρος δέ ὁ βασιλεύς τῶν τόπων, γήμας Κροτονίκην, ἐγέννησεν ἐξ' αὐτῆς υἱόν Ἕβρον· ἀποταξάμενος δέ τῇ συμβιώσει τῆς προτέρας γυναικός ἐπέγημε τῷ τέκνῳ Δαμασίππην τήν Ἄτρακος· ἥτις εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ προγόνου λόγους αὐτῷ περί συνόδων ἀπέστειλεν. ὁ δ'ὡς Ἐρινύν φυγών τήν μητρυιάν προσηνκαίρει κυνηγίαις. ἀποτυχοῦσα δέ τῆς προαιρέσεως ἡ ἀσελγής κατεψεύσατο τοῦ σώφρονος, ὡς βιάσασθαι αὐτήν θελήσαντος. Κάσανδρος δέ τῷ ζήλῳ συμπεριενεχθείς μεθ' ὁρμῆς ἐπί τήν ὕλην ἠνέχθη καί σπασάμενος τό ξίφος ἔπαισε τόν υἱόν, ὡς ἐπίβουλον τῶν πατρώων γάμων. ὁ δέ υἱός περικατάληπτος γενόμενος ἑαυτόν ἔρριψεν εἰς ποταμόν Ῥόμβον, ὅς ἀπ' αὐτοῦ Ἕβρος μετωνομάσθη· καθώς ἱστορεῖ Τιμόθεος ἐν ια' περί Ποταμῶν.

Ὄρος δ' αὐτῷ παράκειται Παγγαῖον, τήν προσηγορίαν ἔχον δι' αἰτίαν τοιαύτην. ὁ Παγγαῖος, Ἄρεως καί Κριτοβούλης παῖς, τῇ θυγατρί κατ' ἄγνοιαν συγγενόμενος καί ἀθυμίᾳ συσχεθείς ἔδραμεν εἰς Καρμάνιον ὄρος, καί διά λύπης ὑπερβολήν σπασάμενος τό ξίφος ἑαυτόν ἀνεῖλε· κατά δέ πρόνοιαν θεῶν τόπος μετωνομάσθη Παγγαῖος.

Γεννᾶται δέ ἐν αὐτῷ τῷ προειρημένῳ ποταμῷ βοτάνη παρόμοιος ὀριγάνῳ, ἧς τά ἄκρα δρεψάμενοι Θρᾶκες ἐπιτιθέασι πυρί μετά τόν κόρον τῆς δημητριακῆς τροφῆς, καί τήν ἀναφερομένην ἀναθυμίασιν δεχόμενοι ταῖς ἀναπνοιαῖς, κρατοῦνται καί εἰς βαθύν ὕπνον καταφέρονται.

Γεννᾶται δέ καί ἐν τῷ Παγγαίῳ ὄρει βοτάνη, κιθάρα καλουμένη διά ταύτην τήν αἰτίαν. αἱ διαπράξασαι τόν Ὀρφέα τά μέλη τοῦ προειρημένου εἰς ποταμόν ἔβαλον Ἕβρον· καί ἡ μέν

κεφαλή του θνητου κατά πρόνοιαν θεῶν εἰς δράκοντα μετέβαλε τήν μορφήν του σώματος, ἡ δέ λύρα κατηστερίσθη κατά προαίρεσιν 'Απόλλωνος, ἐκ δέ του ῥεύσαντος αἵματος ἀνεφάνη βοτάνη κιθάρα καλουμένη τῶν δέ Διονυσιων τελουμένων, αὕτη κιθάρας ἀναδίδωσιν ἦχον· οἱ δ' ἐγχώριοι νεβρίδας περιβεβλημένοι καί θύρσους κρατοῦντες ὕμνον ᾄδουσιν·

" μή τότε φρονήσῃς, ὅταν ἔσῃ μάτην φρονῶν "

καθώς ἱστορεῖ Κλειτώνυμος ἐν τῷ γ' τῶν Θρακικῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ποταμοί.

Ῥόμβος. Ἕβρος. Παγγαῖον. Κάσανδρος.
Κροτωνίκη. Ἕβρος

„Ἕβρος ποταμός ἐστι τῆς Θρᾴκης, προσηγορίαν ἐσχηκὼς ἀπὸ τῆς συστροφῆς τῆς καταφορᾶς τοῦ ὕδατος. Κάσανδρος δὲ ὁ βασιλεὺς τῶν τόπων, γήμας Κροτωνίκην, ἐγέννησεν ἐξ αὐτῆς υἱὸν Ἕβρον· ἀποταξάμενος δὲ τῇ συμβιώσει τῆς προτέρας γυναικός, ἐπέγημε τῷ τέκνῳ Δαμασίππην τὴν Ἄτρακος· ἥτις εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ προγόνου, λόγους αὐτῷ περὶ συνόδου προσέφερεν· ὁ δ' ὡς Ἐρινὺν φυγὼν τὴν μητρυιάν, προσηνιαίει κοινωνίας ἀποτυχοῦσα δὲ τῆς προαιρέσεως ἡ ἀσεβὴς κατεψεύσατο τοῦ σώφρονος ὡς βιάσασθαι αὐτὴν θελήσαντος. Κάσανδρος δὲ τῷ γάμῳ συμπεριενεχθείς, μεθ' ὁρμῆς ἐπὶ τὸν θάλαμον ... σπασάμενος τὸ ξίφος, ἐδίωκε τὸν υἱὸν ὡς ἐπίβουλον τῶν ἰδίων γάμων· ὁ δὲ υἱὸς περικατάληπτος γενόμενος ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Ῥόμβον· ὃς ἀπ' αὐτοῦ Ἕβρος μετωνομάσθη, καθὼς ἱστορεῖ Τιμόθεος ἐν α' περὶ ποταμῶν. Ὄρος δὲ αὐτῷ παράκειται Παγγαῖον, τὴν προσηγορίαν ἔχον δι' αἰτίαν τοιαύτην· ὁ Παγγαῖος, Ἄρεως καὶ Κριτοβούλης παῖς, τῇ θυγατρὶ καθ' ἄγνοιαν συγγενόμενος, καὶ ἀθυμίᾳ συσχεθείς, ἔδραμεν εἰς Καρμάνιον ὄρος· καὶ διὰ λύπης ὑπερβολὴν σπασάμενος τὸ ξίφος, ἑαυτὸν ἀνεῖλεν. Κατὰ δὲ πρόνοιαν θεῶν, ὁ τόπος μετωνομάσθη Παγγαῖος. Γεννᾶται δὲ ἐν αὐτῷ τῷ προειρημένῳ ποταμῷ βοτάνη, παρόμοιος ὀριγάνῳ· ἧς τὰ ἄκρα δρεψάμενοι Θρᾷκες, ἐπιτιθέασι πυρὶ μετὰ τὸν κόρον τῆς δημητριακῆς τροφῆς, καὶ τὴν ἀναφερο-

Πλουτάρχου Περὶ ποταμῶν Σελ. 564

μένην ἀναθυμίασιν δεχόμενοι τῆς ἀνατομίας, καρῶνται, καὶ εἰς βαθὺν ὕπνον καταφέρονται. γεννᾶται δὲ καὶ ἐν τῷ Παγγαίῳ ὄρει βοτάνη, κιθάρα καλουμένη, διὰ ταύτην τὴν αἰτίαν, διασπαράξασαι τὸν Ὀρφέα, τὰ μέλη τοῦ εἰς ποταμὸν προειρημένον ἔβαλον Ἕβρον. καὶ ἡ μὲν κεφαλὴ τοῦ θνητοῦ κατὰ πρόνοιαν θεῶν, εἰς δράκοντα μετέβαλε τὴν μορφὴν τοῦ σώματος. ἡ δὲ λύρα κατεστηρίχθη[3] κατὰ προαίρεσιν Ἀπόλλωνος. ἐκ δὲ τοῦ ῥεύσαντος αἵματος ἀνεφάνη βοτάνη, κιθάρα καλουμένη. τῶν δὲ Διονυσίων ἀγομένων, αὕτη κιθάρας ἀναδίδωσιν ἦχον. οἱ δὲ ἐγχώριοι, νεβρίδας περιβεβλημένοι καὶ θύρσους κρατοῦντες[4] ὕμνον ᾄδουσιν (καὶ τότε φρονήσεις[5] ὅταν ἴσα μάθῃς φρονεῖν) καθὼς ἱστορεῖ Κλειτώνυμος[6] ἐν τῷ γ΄ τῶν Θρᾳκικῶν

1) Προσηνικαίρει μιτηρίας.) Ἐν τῷ Βασιλ. κωδ. γέγραπται, Προσηνικαίρει γυναικείας, οὐκ ὀρθῶς, ὅτι δὲ Θρᾳκικὴ ἐστὶν ἡ φωνὴ εἰς τὸ, Κονηγίας, ἢ Κονηρσοίας, μαρτυρεῖ Πλούταρχος ἐν Παραλλ. φάσκων περὶ τοῦ Ἰσαφύτου, Κονηρσοίας προσαγόμενος

2) Τιμόθεος) Τούτου τὰ Ὀρφικὰ ἀναφέρει ὁ συγγραφεὺς ἐν τοῖς περὶ Ἰνάχου· οὐ πάνυ δὲ δῆλον, τὶν Τιμοθέῳ ἀναγραπτέα ταῦτ' ἐστὶ τὰ βιβλία. Σουΐδας μέντοι συγγραφέα τούτων ὑπολαμβάνει Τιμόθεον τὸν Ἀθηναῖον (ὃν ἐν τῷ περὶ βίων ἀεὶ ἐπαινεῖ Λαέρτιος), οὐ μὴν ἀλλ' αὐτοῦ δὴ τούτου μεμνῆσθαι καὶ Εὐστάθιον ἐν τῇ Διονυσίου περιηγήσει.

3) Κατεστηρίχθη) Ἀναγνωστέον ἴσως, Κατηστερίσθη, ὅ ἐστιν, ἱδρύθη μεταξὺ τῶν ἀστέρων ἐν οὐρανῷ

4) Θύρσους κρατοῦντες) Ἐν τῷ Βασιλ. κωδ. διεφθαρμένως γέγραπται. Θύρσους, ὕμνον ᾄδουσι κρατοῦντες.

5) Καὶ τότε φρονήσεις) Ἐν τῷ αὐτῷ κωδ. φέρεται, Καὶ τότε φρονήσει ὅταν ἰσομάτην φρονῶν.

6) Κλειτώνυμος) Κλειτωνύμου τὰ Ἰταλικὰ καὶ Συβαριτικὰ ἀναφέρει Πλούταρχος ἐν Παραλλ. εἰ δὲ τούτου εἰσὶ καὶ τὰ Θρᾳκικά, ὧν ἐνταῦθα γίνεται μνεία, οὐ δῆλον.

# Ἕβρος. Παγγαῖον

Κάσανδρος. Κροτονίκη. Δαμασίππη. Ῥόμβος. Κριθοβήη. Ἄρης

« Ἕβρος ποταμὸς ἐστὶ τῆς Θρᾴκης, ** προσηγορίαν εἰληφὼς ἀπὸ τῆς συστροφῆς τῆς καταφορᾶς τοῦ ὕδατος. * Κάσανδρος δὲ ὁ βασιλεὺς τῶν Ἠδόνων, γήμας Κροτονίκην, ἐγέννησεν ἐξ αὐτῆς Ἕβρον· ἀποταξάμενος δὲ τῇ συμβιώσει τῆς προτέρας γυναικὸς ἐπέγημε Δαμασίππην τὴν Ἄτρακος, ἥτις εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ προγόνου λόγους αὐτῷ περὶ συνόδου προσέφερεν. ὁ δ' ὡς Ἐρινὺν φυγὼν τὴν μητρυιὰν προσανέχει κυνηγίαις. ἀποτυχοῦσα δὲ τῆς προαιρέσεως ἡ ἀσελγὴς κατεψεύσατο τοῦ σώφρονος, ὡς βιάσασθαι αὐτὴν θελήσαντος. Κάσανδρος δὲ τῷ ζήλῳ συμπαρενεχθεὶς μεθ' ὁρμῆς ἐπὶ τὴν ὕλην ἠνέχθη καὶ σπασάμενος τὸ ξίφος ἐδίωκε τὸν υἱόν, ὡς ἐπίβουλον τῶν πατρῴων γάμων. ὁ δὲ νέος περικατάληπτος γενόμενος ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Ῥόμβον, ὃς ἀπ' αὐτοῦ Ἕβρος μετωνομάσθη· καθὼς ἱστορεῖ Τιμόθεος ἐν ιά περὶ Ποταμῶν.

Πλουτάρχου Περὶ ποταμῶν ἢ ὀρῶν ἐπωνυμίας καὶ τῶν ἐν αὐτοῖς εὑρισκομένων. Τ. Ζ΄. σ. 286.

2. Ὄρος δ' αὐτῷ παράκειται Παγγαῖον, τὴν προσηγορίαν ἔχον δι' αἰτίαν τοιαύτην. ὁ Παγγαῖος Ἄρεως

* Σημ. ἐκδ. Το χάσμα ἐσημείωσεν ὁ Duebnerus. Συμπληρῶ Πρό[τερον Ῥόμβος καλούμενος τὴν προσ]ηγορίαν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

204

Έβρος. Παγγαίον. Θρακικά Κλεώνυμος
Βοτάνη παρόμοιας οριγάνω. Κιθάρα. Ορφεύς. Λύρα. Διονύσια

και Κριθεβήλης παις, τη θυγατρί κατ' άγνοιαν συγγενόμενος και αθυμία συσχεθείς έδραμεν επί Καρμάνιον όρος, και διά λύπης υπερβολήν σπασάμενος το ξίφος εαυτόν ανείλε· κατά δε πρόνοιαν θεών ο τόπος μετωνομάσθη Παγγαίος.

3. Γεννάται δε εν αυτώ τω προειρημένω ποταμώ βοτάνη παρόμοιας οριγάνω, ης τα άκρα δρεψάμενοι Θράκες επιτιθέασι πυρί μετά τον κόρον της δημητρίας τροφής, και την αναφερομένην αναθυμίασιν δεχόμενοι ταις αναπνοαίς καρούνται και εις βαθύν ύπνον καταφέρονται.

4. Γεννάται δε και εν τω Παγγαίω όρει βοτάνη, κιθάρα καλουμένη διά ταύτην την αιτίαν. Των διασπαράξασών τον Ορφέα τα μέλη τα προειρημένω ποταμώ έβαλον Έβρον· η μεν κεφαλή το θνητό κατά πρόνοιαν θεών εις δράκοντα μετέβαλε την μορφήν το σώματος, η δε λύρα κατηστερίσθη κατά προαίρεσιν Απόλλωνος, εκ δε του ρεύσαντος αίματος ανεφάνη βοτάνη κιθάρα καλουμένη. Των δε Διονυσίων τελουμένων, αύτη κιθάρας αναδίδωσιν ήχον· οι δ' εγχώριοι νεβρίδας περιβεβλημένοι και θύρσους κρατούντες ύμνον άδουσιν.
"μη θέλε φρονήσαι, όταν έση μακρόν φρονείν."
καθώς ιστορεί Κλεώνυμος εν τω γ΄. Θρακικών. "

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ